col. v

| | |
|---|---|
| εἶδε \| Βασιλεὺς εἰς φυγὴν ὁρ- | 2 tro. |
| μῶντα παμμιγῆ στρατόν, | lec. |
| γονυπετὴς αἴκιζε σῶμα, | 2 tro. |
| φάτο δὲ κυμαίνων τύχαισιν· | ” |
| ἰὼ κατασκαφαὶ δόμων | 2 ia. |
| σείριαί τε νᾶες Ἑλλανίδες, αἳ | tro. cr. cho. |
| κατὰ μὲν ἥλικ᾽ ὠλέσαθ᾽ ἥ- | cho. dim. |
| βαν νεῶν πολύανδρον· | pherecr. |
| νᾶες δ᾽ οὐκ ὀπισσοπόρευ- | cho. dim. |
| τον †ἄξουσιμ, πυρὸς | [ ] |
| δ᾽ αἰθαλόεμ μένος ἀγρίωι | ibyc. |
| σώματι φλέξει, στονόεντα δ᾽ ἄλγη | 2 cho. ba. |
| ἔσται Περσίδι χώραι· | pherecr. |
| ἰὼ βαρεῖα συμφορά, | 2 ia. |
| ἅ μ᾽ ἐς Ἑλλάδ᾽ ἤγαγες· ἀλλ᾽ ἴτε, | tro. 2 dact. |
| μηκέτι μέλλετε, | –⏑⏑–⏑– |
| ζεύγνυτε μὲν τετράορον ἵππων | 4 dact. |
| ὄχημ᾽, οἱ δ᾽ ἀνάριθμον ὄλ- | glyc. |
| βον φορεῖτ᾽ ἐπ᾽ ἀπήνας· | pherecr. |
| πίμπρατε δὲ σκηνάς, | cho. sp. |
| μηδέ τις ἡμετέρου γένοιτ᾽ | ibyc. |
| ὄνησις αὐτοῖσι πλούτου. | ia. tro. |
| οἱ δὲ τροπαῖα στησάμενοι Διὸς | 4 dact. |